τητες καθ' ὑπεροχὴν προϋφεστῶσιν ἐν τῷ Θεῷ· τὸ δὲ γινώσκειν τὰ μερικὰ τελειότης τίς ἐστιν ἐν ἡμῖν. Καὶ ὅτι ἐφ' ὅσα ἡ δύναμις αὐτοῦ ἐκτείνεται, καὶ ἡ ἐπιστήμη. Ἡ δὲ ποιητικὴ δύναμις οὐ μόνον ἐπὶ εἴδη καὶ τὰ καθόλου, ἀλλὰ καὶ ἐπὶ τὴν ὕλην ἐκτείνεται τῷ Θεῷ, καθόσον ἐστὶν ὁμοιότης πάντων· διὰ δὲ τὴν ὕλην τὰ μερικά.

12. Ὅτι γινώσκει τὰ ἄπειρα, ὅτι τῶν ἀπείρων αὐτός ἐστιν αἴτιος, καὶ ὅτι ἄπειρον αὐτοῦ ὡς τὸ εἶναι καὶ τὸ νοεῖν, καὶ διὰ τοῦτο τῷ νοεῖν περιλαμβάνει τὰ ἄπειρα.

14. Ὅτι γινώσκει τὰ ἀποφαντικά, οὐ πλάττων οὐδὲ συντιθεὶς ὡς ἡμεῖς· οὐ γάρ ἐστιν ἐν τῷ θείῳ νῷ σύνθεσις καὶ διαίρεσις· ἀλλ' ἁπλῶς οἶδε τὰ σύνθετα, ὡς ἀΰλως τὰ ὑλικά.

15. Ὡσαύτως οἶδε καὶ τὰ μεταβλητὰ ἀμεταβλήτως· ἀμετάβλητος γὰρ αὐτῷ ἡ ἐπιστήμη ὡς καὶ ἡ φύσις, ἐπεὶ ταὐτόν ἐστιν αὐτῷ ἡ οὐσία καὶ ἡ ἐπιστήμη τῷ πράγματι.

16. Ὅτι ὁ Θεὸς περὶ ἑαυτοῦ μὲν θεωρητικὴν μόνον ἐπιστήμην ἔχει, περὶ δὲ τῶν ἄλλων θεωρητικὴν ὡς πάντα ἀδιαιρέτως εἰδώς, καὶ πρακτικὴν ὡς πάντα ποιῶν. Τὰ μέντοι φαῦλα, εἰ καὶ μὴ γίνεται ἀπ' αὐτοῦ, ἀλλὰ τῇ θεωρητικῇ αὐτοῦ ὑποπίπτει γνώσει, ὡς εἴρηται πρότερον· ἔτι δὲ καὶ τῇ πρακτικῇ, οὐδὲν ἧττον ἢ τἀγαθά, καθόσον συγχωρεῖ, ἢ κωλύει, ἢ τάττει ἐκεῖνα, ὡς καὶ αἱ νόσοι, τῇ πρακτικῇ ἐπιστήμῃ τοῦ ἰατροῦ, καθόσον αὐτὰς θεραπεύει.

Τριχῶς δὲ ἡ θεωρητικὴ ἐπιστήμη, ὅσον πρὸς τὰ ἐπιστητά, εἰ μὴ εἴη πρακτὰ ὅλως, θεωρητὰ δὲ μόνον, ὡς τὰ φυσικὰ ἢ τὰ θεῖα· καὶ ὅσον πρὸς τὸν τοῦ ἐπίστασθαι τρόπον, ὡς ὁ τεχνίτης θεωρεῖ τὰ τεχνητὰ κατὰ ἀνάλυσιν τοῦ συνθέτου εἰς τὰς καθόλου εἰδικὰς ἀρχάς, καὶ οὐ κατὰ τὴν εἰσαγωγὴν τοῦ εἴδους εἰς τὴν ὕλην· καὶ | ὅσον πρὸς τὸ τέλος, ᾧ διαφέρει f. 200v
ὁ πρακτικὸς νοῦς τοῦ θεωρητικοῦ· τοῦ μὲν γὰρ τέλος, ἡ ἀλήθεια· τοῦ δέ, ἡ ἀρχὴ τῆς πράξεως.

## XV. — Περὶ ἰδεῶν.

1. Ὅτι ἀνάγκη ἐν τῷ θείῳ νῷ τιθέναι ἰδέας. Ἰδέα γάρ ἐστιν ὁμοιότης τοῦ φύσει γινομένου, ὡς ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ πῦρ, πῦρ· ἢ τοῦ τέχνῃ γινομένου, ὡς ἐν τοῖς διὰ νοῦ ποιοῦσιν.

2. Ἐπεὶ τοίνυν ὁ κόσμος οὐκ ἀπὸ τύχης, ἀλλ' ὑπὸ Θεοῦ διὰ νοῦ ἐνεργοῦντος παρήχθη, ἀνάγκη εἶναί τι εἶδος ἐν τῷ θείῳ νῷ, οὗ πρὸς ὁμοιότητα γέγονεν ὁ κόσμος· καὶ οὐ μόνον τὴν τοῦ παντὸς ἰδέαν, ἀλλὰ καὶ τοὺς ἰδίους πάντων λόγους, ὅπερ οὐ μάχεται τῇ θείᾳ ἁπλότητι. Οὐ γὰρ ὥσπερ εἶδος ᾧ νοεῖται τὸ νοούμενον, ἔστιν ἑκάστου ἰδέα ἐν τῷ θείῳ νῷ, ἀλλ' ὡς τὸ νοούμενον. Αὐτὸς γὰρ τὴν ἑαυτοῦ οὐσίαν τελείως γινώσκει καθόσον ἐστὶ γνωστή, τουτέστιν οὐ μόνον καθό ἐστιν ἐν αὐτῷ, ἀλλὰ καὶ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καθό ἐστι μεθεκτὴ ὑπὸ τῶν κτισμάτων καθ' ὁμοιότητα· ἕκαστον δὲ τῶν κτισμάτων ἴδιον ἔχει εἶδος, καθόσον ἀμηγέπη μετέχει τῆς θείας οὐσίας. Οὕτω τοίνυν ὁ Θεός, καθόσον γινώσκει τὴν ἑαυτοῦ οὐσίαν, παράδειγμα καὶ λόγον τοῦδε τοῦ κτίσματος ὡς ἰδέαν ἐκείνου γινώσκει.

3. Εἰσὶ δὲ καὶ πάντων τῶν γινωσκομένων αὐτῷ ἰδέαι· λόγοι γάρ εἰσι τῶν ὄντων, ἐν τῷ θείῳ προϋφεστῶτες νῷ· πάντων δὲ ὁ Θεὸς λόγους ἰδίους ἔχει, ὥστε καὶ πάντων ἰδέας ἢ ὡς παράδειγμα τῶν κατὰ χρόνον δημιουργηθέντων, ἢ ὡς λόγος τῶν γινωσκομένων. Τὸ μέντοι κακὸν οὐ γινώσκεται τῷ Θεῷ ἰδίῳ λόγῳ, ἀλλὰ τῷ τοῦ ἀγαθοῦ· διὸ οὔτε παραδειγματικὴ αὐτοῦ οὔτε γνωστικὴ ἰδέα ἐν τῷ Θεῷ.

## XVI. — Περὶ ἀληθείας.

1. Ὅτι τὸ μὲν ἀγαθόν, οὗ ἡ ἔφεσίς ἐστιν ἐν τῷ ἐπιθυμητῷ, εἰς ὃ ἔφεσις ῥέπει· ἡ δὲ ἀλήθεια, ἐν τῷ νῷ. Ὡς δὲ τὸ ἀγαθὸν μέτεισιν ἀπὸ τοῦ πράγματος πρὸς τὴν ἔφεσιν, ὡς εἶναι ἀγαθὴν ἔφεσιν τὴν τοῦ ἀγαθοῦ πράγματος, οὕτω καὶ ὁ ἐν τῷ νῷ τοῦ ἀληθοῦς λόγος μέτεισιν ἀπὸ τοῦ νοῦ εἰς τὸ νοητὸν πρᾶγμα, ὡς καὶ αὐτὸ ἀληθὲς λέγεσθαι, ὡς ἀληθὴς οἰκία ἡ ἐμφερὴς τῇ ἐν τῇ διανοίᾳ τοῦ οἰκοδόμου, καὶ ἀληθὴς λόγος, ὡς τοῦ ἀληθοῦς νοῦ σημεῖον· καὶ οὕτως ἀρχοειδῶς μὲν ἡ ἀλήθεια ἐν τῷ νῷ, δεύτερον δὲ κἀν τοῖς πράγμασιν, καθόσον πρὸς τὸν νοῦν παραβάλλονται ὡς ἀρχήν.

2. Ὅτι ἡ ἀλήθεια κυρίως ἐστὶν ἐν τῷ συντιθέντι καὶ διαιροῦντι νῷ, ἀλλ' οὐκ ἐν τῇ αἰσθήσει, ἢ τῷ νῷ, τῷ τὸ τί ἦν εἶναι γινώσκοντι.

f. 201 3. Ὅτι τὸ ἐν τοῖς πράγμασιν ἀληθὲς | ἀντιστρέφει τῷ ὄντι κατ' οὐσίαν· τὸ δὲ ἐν τῷ νῷ ἀληθὲς ἀντιστρέφει τῷ ὄντι ὡς τὸ δηλωτικὸν τῷ δηλουμένῳ· τὸ γὰρ ὂν καὶ ἀληθὲς λόγῳ διενήνοχε.

4. Ὅτι οὐκ ἀντιστρέφει τὸ ἀληθὲς καὶ τὸ ἀγαθόν· τὸ γὰρ ἀληθές, πρότερον· ἔστι γὰρ καὶ ἐν οἷς οὐκ ἔστι τὸ ἀγαθόν, οἷον ἐν μαθηματικοῖς· καὶ ὅτι ἡ γνῶσις φύσει τῆς ἐφέσεως προηγεῖται, ὥστε καὶ τὸ ἀντικείμενον ταύτης, τὸ ἐκείνης.

5. Ὅτι ὁ Θεός ἐστιν ἡ ἄκρα ἀλήθεια· τὸ γὰρ νοεῖν αὐτοῦ ἐστι μέτρον καὶ αἴτιον παντὸς ἄλλου νοῦ, ὡς καὶ τὸ εἶναι αὐτοῦ, παντὸς ἄλλου εἶναι.

6. Ὅτι ἡ ἀλήθεια ἐν μὲν τῷ νῷ ποικίλη ἐστί, καὶ ἐν πολλοῖς νοῖς, ἐν δὲ τοῖς πράγμασιν, ἐν ἑκάστῳ, μία τῇ ὁμοιότητι τῆς μιᾶς ἄκρας ἀληθείας.

7-8. Ὅτι ὁ Θεὸς μόνος ἀΐδιος, καὶ ἡ ἐν αὐτῷ ἀλήθεια· ἡ δὲ ἐν τῷ ἀνθρωπίνῳ νῷ ἀλήθεια μεταβάλλει διχῶς, ὁμοιότης οὖσα τοῦ πράγματος, ἢ αὐτοῦ τοῦ πράγματος μεταβάλλοντος, ἢ τῆς περὶ αὐτοῦ δόξης, κἂν αὐτὸ μένῃ· τοῦ δὲ θείου νοῦ τὴν ἀντίληψιν οὐδὲν δύναται διαφυγεῖν.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XVII. — Περὶ ψεύδους.

1. Ὅτι καὶ τὸ ψεῦδος ἐν τῷ νῷ πρώτως εὑρίσκεται, ὅπου καὶ ἡ ἀλήθεια· ἐν δὲ τοῖς πράγμασιν, ὅσον μόνον ἐν τῇ πρὸς τὸν νοῦν τάξει. Ἐπεὶ δὲ ἤρτηνται τοῦ ἀνθρωπίνου νοῦ τὰ τεχνητὰ ὡς τοῦ θείου τὰ φυσικά, τὰ μὲν τεχνητὰ ψευδῆ λέγεται, ᾗ ἀποδέουσι τοῦ εἴδους τῆς τέχνης, τὰ δὲ φυσικὰ οὐκ ἔχουσι τὸ ψεῦδος, εἰ μὴ τὰ ἑκουσίως ποιοῦντα, ἃ δύνανται ἀφιστάνειν ἑαυτὰ τῆς τοῦ θείου νοῦ τάξεως, ἐν ᾧ τὸ κακὸν τῆς ἁμαρτίας συνίσταται, ὃ καὶ σφάλμα καὶ ψεῦδος λέγεται.

2. Ὅτι καὶ ἐν τῇ αἰσθήσει τὸ ψεῦδος ἔστιν, ἀντιλαμβανομένῃ αὐτῶν ὡς οὐκ εἰσίν, ἐπειδὴ γινώσκει καὶ αὐτὴ τῇ ἐν αὐτῇ αὐτῶν ὁμοιότητι, τριχῶς οὔσῃ ἐν τῇ αἰσθήσει· ἢ πρώτως καὶ καθ' αὑτό, ὡς ἐν ὄψει ἡ τοῦ χρώματος ὁμοιότης καὶ τῶν ἄλλων ἰδίων αἰσθητῶν· ἢ καθ' αὑτὸ καὶ οὐ πρώτως, ὡς ἡ τοῦ σχήματος ὁμοιότης ἢ τοῦ μεγέθους ἐν ὄψει· ἢ ὡς ἡ τοῦ ἀνθρώπου ὁμοιότης ἐν ὄψει, καθόσον συμβέβηκε τούτῳ τῷ κεχρωσμένῳ εἶναι ἄνθρωπον. Ἐν μὲν τῷ ἰδίῳ αἰσθητῷ οὐ ψεύδεται ἡ αἴσθησις, εἰ μὴ κατὰ συμβεβηκὸς καὶ κατὰ ἀσθένειαν· ἐν δὲ τοῖς κοινοῖς, κατὰ συμβεβηκὸς καὶ χωρὶς ἀσθενείας τῆς αἰθήσεως.

3. Ὅτι ὁ νοῦς περὶ τὸ τί ἦν εἶναι οὐκ ἀπατᾶται· ἐν δὲ τῷ συντιθέναι καὶ διαιρεῖν, ὅταν | ἀποδιδῷ τῇ νοηθείσῃ οὐσίᾳ τὸ ἑπόμενον ἢ ἀντικεί- f. 201v
μενον· οὕτω γὰρ κρίνει περὶ τούτων ὁ νοῦς ὡς ἡ αἴσθησις περὶ τῶν κατὰ συμβεβηκὸς ἢ κοινῶν αἰσθητῶν· ἐν μέντοι τῷ νῷ τὸ ψεῦδος καὶ καθόσον ἀπατᾶται, καὶ καθόσον αὐτὸ γινώσκει· ἐν δὲ τῇ αἰσθήσει οὐκ ἔστι γνωστόν· διὸ ὁ νοῦς ἐν τῷ γινώσκειν τὰς ἁπλᾶς οὐσίας, ὅ ἐστιν ἄνευ συνθέσεως καὶ διαιρέσεως, οὐ δύναται ψευδὴς εἶναι, ἀλλ' ἢ ἀληθής ἐστιν, ἢ οὐδὲν πάντῃ νοεῖ.

4. Ὅτι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ὡς τὰ ἐναντία ἀντίκεινται· τὸ γὰρ ἐναντίον καὶ τίθησί τι καὶ ἀφορίζει ὑποκείμενον, οὐχ ὡς ἡ ἀπόφασις οὐδὲν τίθησιν οὔτε ἀφορίζει. Ἡ δὲ στέρησις ἀφορίζει μὲν ἑαυτῇ ὑποκείμενον, οὐδὲν δὲ τίθησιν· ἀπόφασις γάρ ἐστιν ἐν οὐσίᾳ. Οὕτως οὖν καὶ τὸ ψεῦδος τίθησί τι· ἢ γὰρ δοκεῖ εἶναι ὃ οὐκ ἔστιν, ἢ μὴ εἶναι ὅ ἐστιν· καὶ ὡς τὸ ἀληθὲς τίθησι νόησιν ἐξισουμένην τῷ πράγματι, οὕτω τὸ ψεῦδος, μὴ ἐξισάζουσαν.

## XVIII. — Περὶ ζωῆς.

1. Ὅτι κυρίως ἐκεῖνα ζωὴν ἔχει καὶ ζῶντά εἰσιν, ἅπερ ἑαυτὰ κινεῖ κατά τι εἶδος κινήσεως.

2. Ὅτι τὸ ὄνομα τῆς ζωῆς, εἰλημμένον ἀπὸ τοῦ κινεῖν ἑαυτό, οὐ

---

3 *ἐν δὲ τοῖς πράγμασιν* deux fois répété A 34 Titre en rouge dans la marge A: *Περὶ ζωῆς ἁπλῶς καὶ τῆς θείας*



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦτο σημαίνει, ἀλλ' αὐτὴν τὴν οὐσίαν, ᾗ κατὰ φύσιν οἰκεῖον τὸ κινεῖν ἑαυτήν, καὶ διὰ τοῦτο τὸ ζῆν οὐκ ἔστι συμβεβηκὸς κατηγόρημα, ἀλλ' οὐσιῶδες, εἰ καὶ ἐνίοτε ἧττον κυρίως ἀντὶ τῶν ἐνεργειῶν τῆς ζωῆς λαμβάνεται, ἤγουν τοῦ αἰσθάνεσθαι ἢ νοεῖν.

3-4. Ὅτι ἐν τῷ Θεῷ ἐστιν ἡ ζωὴ κυρίως καὶ μάλιστα, ὅτι ὑπ' οὐδενὸς ἔξωθεν ὅλως κινεῖται, ἀλλὰ πάντα κινεῖ μένων ἀκίνητος· αὐτὸς γάρ ἐστι τὸ ἑαυτοῦ εἶναι ἐν ᾧ ποιεῖ, καὶ τὸ τέλος· διὸ καὶ ἡ ζωὴ αὐτοῦ ἀΐδιος, καὶ ἐν αὐτῷ πάντα εἰσίν, αὐτὴ ἡ θεία ζωὴ ὡς νοούμενα ἐν αὐτῷ, ἐν ᾧ ταὐτόν ἐστιν ὁ νοῦς καὶ τὸ νοούμενον καὶ αὐτὸ τὸ νοεῖν, ὥστε καὶ τὸ ζῆν, ἢ ἡ ζωὴ αὐτοῦ.

## XIX. — Περὶ τῆς θείας βουλήσεως.

1. Ὅτι ἐν τῷ Θεῷ ἐστι βούλησις ὡς καὶ νοῦς· τῷ νῷ γὰρ ἡ βούλησις ἕπεται, ὡς καὶ τῷ αἰσθητικῷ ἡ ζωτικὴ ἔφεσις.

2. Ὅτι ὁ Θεὸς πρῶτον μὲν θέλει ἑαυτόν, εἶτα καὶ τὰ ἕτερα ἑαυτοῦ, οἷς κοινωνεῖ τοῦ ἀγαθοῦ κατὰ τὸ αὐτοῖς δυνατόν, ὃ καὶ ἐπὶ τῶν κτισμάτων ὁρῶμεν· ἀλλ' ἑαυτὸν μὲν βούλεται ὡς τέλος, τὰ δ' ἄλλα ὡς πρὸς τὸ τέλος, καθόσον τῇ αὐτοῦ ἀγαθότητι πρέπον ἐστὶν τὸ τὰ ἄλλα ταύτης μετέχειν.

3. Ὅτι οὐκ ἐξ ἀνάγκης ὁ Θεὸς θέλει πᾶν ὅπερ θέλει, ἀλλὰ θέλει
f. 202 μέν τι θελητόν, ἑαυτὸν δηλονότι, | ἐξ ἀνάγκης ἁπλῶς, τὰ δὲ ἕτερα αὐτοῦ, τῇ ἐξ ὑποθέσεως ἀνάγκῃ, καθόσον δηλονότι πρὸς τὴν ἀγαθότητα αὐτοῦ τάττονται ὡς τέλος. Τὰ δὲ πρὸς τὸ τέλος οὐδ' ἡμεῖς ἐξ ἀνάγκης θέλομεν, εἰ μὴ τὰ αὐτὰ εἶεν ὧν ἄνευ ἀδύνατον εἶναι τὸ τέλος, ὥσπερ τὴν τροφὴν διὰ τὴν συντήρησιν τῆς ζωῆς, καὶ τὴν ναῦν ἕνεκα τοῦ πλεῦσαι· ἵππου δὲ ἄνευ βαδίζειν δυνατόν. Οὕτω καὶ ὁ Θεός, ἐν οἷς ὑπόκειται θέλων, ἀδύνατον μὴ θέλειν αὐτόν· οὐ γὰρ οἷόν τε τὴν θέλησιν αὐτοῦ μεταβάλλεσθαι.

4. Ὅτι ἡ τοῦ Θεοῦ βούλησις αἰτία ἐστὶ τῶν ὄντων, καὶ θελήσει πάντα ποιεῖ ὁ Θεός, οὐκ ἀνάγκῃ φύσεως.

5. Ὅτι οὐδαμῶς ἡ τοῦ Θεοῦ βούλησις ἄλλην αἰτίαν ἔχει· οὐ γὰρ θέλει τὰ πρὸς τὸ τέλος διὰ τὸ θέλειν τὸ τέλος. Θέλει μέντοι τὰ πρὸς τὸ τέλος τάττεσθαι εἰς τὸ τέλος, μιᾷ ἐπιβολῇ ἄμφω περιλαμβάνων, ὥσπερ εἰ ὁ νοῦς ἅμα τῇ ἀρχῇ ἐνόει καὶ τὸ συμπέρασμα ἐν ἡμῖν, οὐκ ἂν ἦν αἴτιον τῆς τοῦ συμπεράσματος ἐπιστήμης ἡ νόησις τῶν ἀρχῶν· ὥστε οἰκειότερον εἶναι λέγειν, ὅτι θέλει τοῦτο εἶναι ἕνεκα τούτου, ἢ ὅτι τοῦτο θέλει διὰ τὸ θέλειν ἐκεῖνο.

6. Ὅτι ἀναγκαῖον ἀεὶ πληροῦσθαι τὴν θείαν βούλησιν. Τὴν γὰρ καθόλου πάντων τῶν ὄντων αἰτίαν ἀδύνατον μὴ τυγχάνειν τοῦ οἰκείου ἀποτελέσματος. Εἰ δέ τι κατὰ μίαν τάξιν ἀφίστασθαι δοκεῖ τῆς θείας

---

7 *εἶναι ἐν* corrigé de *εἶδος* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θελήσεως, εἰς αὐτὴν καθ' ἑτέραν τάξιν ἐπανακάμπτει, ὥσπερ ὁ ἁμαρτωλὸς τὸ ἐπ' αὐτῷ τῆς θείας θελήσεως ἀφιστάμενος ἐν τῷ ἁμαρτάνειν, πάλιν ἐμπίπτει τῇ τάξει τῆς θείας θελήσεως κολαζόμενος διὰ τῆς δικαιοσύνης. Τὸ δέ· ὃς καὶ θέλει πάντας ἀνθρώπους σωθῆναι, νοεῖται ὡς ἢ θέλει τοὺς σῴζεσθαι βουλομένους· οὐ γάρ ἐστιν ἀληθές, ὅτι μηδείς ἐστιν ὃν μὴ θέλει σωθῆναι ἢ ἐκ πάσης τῶν ἀνθρώπων τάξεως, ἢ τῇ ἡγουμένῃ βουλήσει, ἀλλ' οὐ τῇ ἑπομένῃ· ὧν ἡ διάκρισις οὐ κατ' αὐτὴν τὴν θείαν βούλησιν, ἀλλὰ κατὰ τὰ θελητά. Θέλει γὰρ ὁ Θεὸς πάντα ἄνθρωπον σῴζεσθαι προηγουμένως, ἀλλ' ἑπομένως θέλει τὸν ἁμαρτωλὸν κολάζεσθαι, ὥσπερ καὶ ὁ δίκαιος δικαστὴς προηγουμένως θέλει πάντα ἄνθρωπον ζῆν, ἑπομένως δὲ τὸν φονέα ἀναρτηθῆναι. Τὸ δὲ προηγουμένως θέλειν οὐχ ἁπλῶς ἐστι θέλειν ἀλλὰ πῇ· τὸ γὰρ ἁπλῶς τι θέλειν ἐστὶν ὅταν ἐκεῖνό τις | θέλῃ, θεωρηθέντων πάντων τῶν μερικῶν περιστατικῶν, f. 202v ἐν οἷς ἐστι τὸ ἑπομένως θέλειν. Ὅθεν ὁ δίκαιος κριτὴς ἁπλῶς θέλει τὸν φονέα ἀναρτηθῆναι, εἰ καί πῃ θέλει τοῦτον ζῆν, δηλονότι ὡς ἄνθρωπον. Καὶ οὕτω δῆλον, ὡς ὅπερ ἂν ὁ Θεὸς ἁπλῶς θέλοι γίνεται, εἰ καί τι, ὃ προηγουμένως θέλει, οὐ γίνεται.

7. Ὅτι ἡ τοῦ Θεοῦ θέλησις ἀμετάβλητος, ὥσπερ ἡ οὐσία καὶ ἡ ἐπιστήμη, οὐχ ὥσπερ οἱ ἄνθρωποι ἀρχόμεθα θέλειν ὃ οὐκ ἐβουλόμεθα, καὶ παυόμεθα θέλοντες ὃ ἐβουλόμεθα πρότερον, ἢ ἐκ νέου γινομένου τινὸς ἡμῖν ἀγαθοῦ, οὗ οὐχ οἷόν τε τυχεῖν μὴ μεταβαλομένους, ἢ ἄγνοιαν πάσχοντες τοῦ συμφέροντος· διὸ καὶ βουλευόμεθα. Εἰ δὲ θέλοι ὁ Θεὸς πραγμάτων μεταβολήν, οἷον νῦν μὲν τοῦτο γίνεσθαι, μετὰ ταῦτα δὲ τοὐναντίον, τοῦτο οὐκ ἔστι ταὐτὸν τῷ μεταβάλλειν τὴν βούλησιν, ἀλλὰ διενηνόχατον.

8. Ὅτι ἡ τοῦ Θεοῦ θέλησις οὐ πᾶσι τοῖς θελητοῖς ἀνάγκην ἐπιτίθησιν, καὶ τούτου αἴτιον ἡ δραστηριότης τῆς θείας θελήσεως. Ὅταν γάρ τις αἰτία πρὸς τὸ ποιεῖν ᾖ δραστική, ἕπεται αὐτῇ τὸ ἴδιον ἀποτέλεσμα οὐ καθὸ γίνεται μόνον, ἀλλὰ καὶ κατὰ τὸν τοῦ εἶναι καὶ γίνεσθαι τρόπον, ὥσπερ τοὐναντίον ἐκ τῆς ἀσθενείας αὐτῆς συμβαίνει· λόγου χάριν, διὰ τὴν ἀσθένειαν τῆς ἐν τῷ σπέρματι ποιητικῆς δυνάμεως ὁ υἱὸς ἀνόμοιος τῷ πατρὶ γεννᾶται ἐν τοῖς συμβεβηκόσι τοῖς πρὸς τὸν τοῦ εἶναι τρόπον ἀνήκουσι· καὶ τοὐναντίον αὖ ἐκ τῆς δραστηριότητος αὐτοῦ. Διὰ τὸ τοίνυν δραστήριον τῆς θείας θελήσεως, οὐ μόνον ἅπερ θέλει ὁ Θεός, ἀλλὰ καὶ ὃν τρόπον θέλει γίνονται πάντα· θέλει δὲ τὰ μὲν ἐνδεχομένως γίνεσθαι, τὰ δὲ ἐξ ἀνάγκης, ἵν' ἐν τοῖς οὖσιν ᾖ τάξις τῇ συμπληρώσει τοῦ παντὸς πρέπουσα. Καὶ διὰ τοῦτο, τισὶ μὲν προσήρμοσεν ἀναγκαίας αἰτίας οὐ δυναμένας ἀσθενεῖν, τισὶ δὲ ἐνδεχομένας, ἐξ ὧν ἐνδεχομένως τὰ ἀποτελέσματα προΐασιν. Καὶ οὐ διὰ τοῦτο ἐνδεχομένως ἐκ Θεοῦ γίνονται αὐτὰ

11 ἑπομένως δὲ deux fois répété A



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διὰ τὸ ἐνδεχόμενον τῶν προσεχῶν αἰτίων, ἀλλὰ διότι ὁ Θεὸς θέλει ἐνδεχομένως αὐτὰ ἀποβαίνειν, καὶ ἐνδεχομένας αἰτίας αὐτοῖς προητοίμασεν.

9. Ὅτι οὐ βούλεται τὰ κακὰ ὁ Θεός. Ἡμεῖς μὲν γάρ, εἰ καὶ μὴ ἐφιέμεθα τοῦ κακοῦ ᾗ κακόν· ἀδύνατον γὰρ τοῦτο ἢ φυσικῇ ἐφέσει, ἢ ζῳώδει, ἢ νοερᾷ· ἀλλὰ καθόσον ἀγαθῷ τινι συνημμένον ἐστίν, ὡς ὁ λέων τὴν ἔλαφον ἀποκτείνων, τὴν τροφὴν βούλεται, ᾗ ἕπεται ὁ φόνος τοῦ ζῴου·
f. 203 καὶ ὁ λαγνεύων τὴν ἡδονὴν | βούλεται, ᾗ συνῆπται τὸ αἶσχος τῆς ἁμαρτίας· καὶ ἀδύνατον ἂν ἦν ἔφεσιν εἶναι τοῦ κακοῦ ὁπωσοῦν ἡμῖν, εἰ μή τις μᾶλλον ἐπεθύμει τοῦ ἀγαθοῦ ᾧ συνῆπται τὸ κακὸν ἢ τοῦ ἀγαθοῦ, οὗ διὰ τὸ κακὸν στερεῖται. Ἀλλ' ὁ Θεὸς οὐδὲν ἀγαθὸν μᾶλλον τῆς ἑαυτοῦ ἀγαθότητος θέλει. Θέλει μέντοι ἕτερον ἀγαθὸν ἑτέρου μᾶλλον· ὅθεν τὸ τῆς ἁμαρτίας αἶσχος οὐδένα τρόπον ὁ Θεὸς θέλει, ὅ ἐστι στέρησις τῆς πρὸς τὸ θεῖον ἀγαθὸν τάξεως. Τὸ δὲ κακὸν τῆς φυσικῆς ἀσθενείας, ἢ τὸ τῆς δίκης, θέλει τῷ θέλειν ἀγαθόν τι ᾧ συνῆπται τὸ τοιοῦτον κακόν· τῷ γὰρ τὴν δικαιοσύνην θέλειν θέλει τὴν δίκην, καὶ τῷ τὴν τάξιν τῆς φύσεως τηρεῖσθαι βούλεσθαι θέλει τινὰ φύσει φθείρεσθαι.

10. Ὅτι ὁ Θεὸς ἔχει αὐτεξούσιον, ἤγουν ἐλευθερίαν θελήσεως, πρὸς τὰ οὐκ ἐξ ἀνάγκης αὐτῷ θελητά· τὴν δὲ οἰκείαν ἀγαθότητα ἐξ ἀνάγκης θέλει. Ἐν δὲ τοῖς ἐξ ἀνάγκης θελητοῖς οὐκ ἔστι τὸ αὐτεξούσιον, οὐδ' ἐν ἡμῖν, ὅταν φύσει τινὸς ἐφιώμεθα.

12. Ὅτι σημεῖα τῆς θείας περὶ ὁτιοῦν βουλήσεως πέντε· κώλυσις, ἐντολή, βουλή, ἐνέργεια, καὶ παραχώρησις. Καὶ ἔστιν ἐνέργεια μέν, τὸ δι' ἑαυτοῦ τι ποιεῖν· συγχώρησις δέ, τὸ μὴ κωλύειν τὸν ἐνεργοῦντα· ἐντολὴ δέ, τὸ ἕτερον τάττειν πρὸς τὸ ποιεῖν τι καὶ ἀναγκαίως πρὸς τοῦτο ἐνάγειν· βουλὴ δέ, τὸ προτρέπειν ἢ τὸ ἄλλως πως πιθανῶς ἐνάγειν· κώλυσις δέ, τὸ εἴργειν ἄλλον πράττειν ὅπερ αὐτὸς ὁ κωλύων οὐ βούλεται.

## XX. — Περὶ τῆς θείας ἀγάπης.

1. Ὅτι ὁ Θεὸς ἔχει ἀγάπην, ὅτι καὶ θέλησιν. Πρώτη γὰρ τῆς θελήσεως κίνησις καὶ πάσης τῆς ἐν τῇ ἐφέσει δυνάμεως ἡ ἀγάπη ἐστί, καὶ πᾶσαι αἱ ἄλλαι τῆς ἐφέσεως κινήσεις προϋποτιθέασι τὴν ἀγάπην ὥσπερ πρώτην ῥίζαν· ἐπιθυμία γάρ, καὶ χαρά, καὶ λύπη καὶ τὰ τοιαῦτα ἕνεκεν τοῦ ἀγαπωμένου ἀγαθοῦ εἰσίν, καὶ ἐν τῷ Ἰωάννῃ λέγεται· „Ὁ Θεὸς ἀγάπη ἐστίν".

2. Ὅτι πάντα τὰ ὄντα ἀγαπᾷ· ἀγαπᾶν γάρ τι ἐστὶ τὸ θέλειν αὐτῷ τι ἀγαθόν· πᾶσι δὲ τοῖς οὖσι θέλει τι ἀγαθὸν ὁ Θεὸς ἑκάστῳ. Ἄλλως δὲ ἀγαπᾷ ἢ ἡμεῖς· ἡ γὰρ ἡμετέρα θέλησις οὐκ αἰτία τῆς ἀγαθότητος τῶν πραγμάτων, ἀλλ' ὑπὸ ταύτης μᾶλλον κινεῖται ὡς ἀντικειμένου. Τὸ γὰρ

---

33 I Ioh. 4, 16   35 *ἀγαπᾶν γάρ ἐστί τι* sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀγαθὸν τὸ ἐν τῷ πράγματι ὄν, ἢ δοκοῦν, προκαλεῖται τὴν ἡμετέραν ἀγάπην, ᾗ θέλομεν ἐκείνῳ, ὃ ἔχει ἀγαθόν, συντηρεῖσθαι, καὶ ὃ μὴ ἔχει προστίθεσθαι. | Ἡ δὲ τοῦ Θεοῦ ἀγάπη ἀναβλύζει τὴν ἐν τοῖς πράγμασιν f. 203v ἀγαθότητα, καὶ ταύτης αἰτία ἐστίν.

Εἴρηται δὲ καὶ ἐν ἑνδεκάτῳ τῆς Σοφίας· „Ἀγαπᾷς πάντα τὰ ὄντα, καὶ οὐδὲν μισεῖς ὧν ἐποίησας". Τὸ δὲ τοῦ Δαυίδ· „Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν" ἀληθές ἐστιν· τοὺς γὰρ ἁμαρτωλοὺς ἀγαπᾷ μὲν ᾗ φύσεις τινάς· οὕτω γὰρ καὶ εἰσὶ καὶ παρ' αὐτοῦ εἰσίν· ᾗ δὲ ἁμαρτωλοί, οὐδ' εἰσίν, ἀλλὰ τοῦ ὄντος ἀποπεπτώκασιν, καὶ τοῦτ' ἐν αὐτοῖς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Ὅθεν ὑπ' αὐτοῦ καὶ κατὰ τοῦτο μισοῦνται.

3. Ὅτι ἄλλο μᾶλλον ἄλλου ἀγαπᾷ, οὐ κατὰ τὴν ἐνέργειαν τῆς θελήσεως, ὡς οὖσαν μᾶλλον ἢ ἧττον· ἀγαπᾷ γὰρ πάντα μιᾷ καὶ ἁπλῇ τῆς θελήσεως ἐνεργείᾳ καὶ ἀεὶ ὡσαύτως ἐχούσῃ, ἀλλὰ κατὰ τὸ ἀγαθὸν ὃ βούλεται τῷ ἀγαπωμένῳ. Δυνατὸν γὰρ μεῖζον τινὶ βούλεσθαι ἀγαθὸν ἢ ἄλλῳ, εἰ καὶ μὴ μᾶλλον ἐπιτεταμένῃ θελήσει. Εἰ τοίνυν ἡ τοῦ Θεοῦ ἀγάπη αἰτία τῆς ἀγαθότητος τῶν πραγμάτων, πῶς ἂν ἦν ἄλλου ἄλλο βέλτιον, εἰ μὴ μεῖζον ἀγαθὸν ὁ Θεὸς ἐβούλετο ἑνὶ ἢ ἑτέρῳ;

4. Διὸ καὶ μᾶλλον ἀγαπᾷ τὰ βελτίω, μεῖζον ἀγαθὸν αὐτοῖς τοιούτοις οὖσι βουλόμενος.

Εἰ δὲ „τοῦ ἰδίου οὐκ ἐφείσατο Υἱοῦ ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν", οὐ διὰ τοῦτο πλέον αὐτοῦ ἡμᾶς ἠγάπησεν· τῷ γὰρ ἀγαπᾶν τὴν ἡμῶν σωτηρίαν παρέδωκεν· ἀλλ' αὐτὸν κἂν τούτῳ πλέον ἠγάπηκεν. Οὔτε γὰρ τῆς ἀξίας ἀπώλετό τι τοῦ Υἱοῦ, διὰ τὸν ὑπὲρ ἡμῶν θάνατον, ἀλλὰ καὶ „ἔλαβεν ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα", τὸ τοῦ εἶναι Θεὸν ἀληθῆ. Καὶ καθ' Ἡσαΐαν· „Ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ γέγονεν".

Καὶ τὸ ἐν τῷ Λουκᾷ δὲ οὐ προσίσταται, ὅτι „χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα δικαίοις. Οἱ γὰρ μετανοοῦντες καὶ οἱ μὴ ἁμαρτόντες ἑκάτεροι ὑπερέχουσι καὶ ὑπερέχονται, καὶ βελτίους εἰσὶν ἐν ἑκατέροις οἱ πλέον ἔχοντες χάριτος, καὶ μᾶλλον διὰ τοῦτο ἠγαπημένοι. Τῶν δ' ἄλλων ὁμοίων μενόντων, βέλτιόν ἐστι τὸ μὴ ἁμαρτεῖν, καὶ μᾶλλον ἀγαπώμενον. Χαίρει δὲ ἐπὶ τῷ μετανοοῦντι πλέον διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον τοὺς τοιούτους ἀσφαλεστέρους καὶ μετρίους καὶ θερμοτέρους γίνεσθαι· „Ὡς εἴ τις ἡγεμὼν πλέον ἀγαπῴη στρατιώτην μετὰ φυγὴν καὶ ἐπιστροφὴν τὸν ἐχθρὸν ἀνδρείως πιέζοντα τοῦ μήτε φυγόντος, μήτ' ἀνδρείας τι δεῖγμα ἐξενεγκόντος"· καὶ ἄλλως, τὸ αὐτὸ δῶρον

---

5 Sap. 11, 25 6 Ps. 5, 6 18 *λύσις ἐνστάσεως* en marge add A 20 Rom. 8, 32 24 *τὸ τοῦ* sic A Phil. 2, 9 25 Is. 9, 6 26 *ἑτέρας ἐνστάσεως λύσις* add A Luc. 15, 7 33 *Γρηγορίου τοῦ Διαλόγου* en marge add A. La citation commence à: *ὡς εἴ τις ἡγεμὼν*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 204 τῆς χάριτος πλέον ἐστὶ τῷ | μετανοοῦντι καὶ δίκην ὀφείλοντι παρατιθέμενον ἢ τῷ μὴ ἁμαρτόντι καὶ μὴ ὀφείλοντι, ὥσπερ ἑκατὸν τάλαντα μεῖζον δῶρόν ἐστι πένητι δεδομένα ἢ βασιλεῖ.

## XXI. — Περὶ τῆς θείας δικαιοσύνης καὶ ἐλεημοσύνης.

1-2. Ὅτι ἐν τῷ Θεῷ ἐστι δικαιοσύνη, οὐχ ἡ ἀμοιβαία, ἡ διεξακτικὴ τῶν ἀμοιβῶν καὶ κοινωνιῶν, τοῦ Ἀποστόλου ἐν τοῖς πρὸς Ῥωμαίους λέγοντος· „Τίς πρῶτος δέδωκε, καὶ ἀνταποδοθήσεται αὐτῷ;“ ἀλλ' ἡ διανεμητική, ἡ διδοῦσα ἑκάστῳ κατὰ τὴν ἀξίαν, οἰκονόμῳ καὶ διοικητῇ πρέπουσα, ἣν μαρτυρεῖ τῷ Θεῷ ἡ τοῦ παντὸς τάξις κἀν τοῖς φυσικοῖς ἑκουσίοις δεικνυμένη, ἥτις καὶ ἀλήθεια ὀνομάζεται, καὶ νόμος αὐτοῦ, ὡς ἐν τοῖς Ψαλμοῖς· „Ἔλεος καὶ ἀλήθεια συνήντησαν“, ἤγουν δικαιοσύνη.

3. Ὅτι τὴν ἐλεημοσύνην ἀποδίδοσθαι δεῖ τῷ Θεῷ μάλιστα, ὡς ἐν τοῖς Ψαλμοῖς· „Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος“, κατὰ τὸ ἀποτέλεσμα μέντοι, οὐ κατὰ τὴν τοῦ πάθους διάθεσιν· οὐ γὰρ ὡς ἐπὶ τῇ ἄλλου ταλαιπωρίᾳ λυπούμενος καὶ συναλγῶν, ἀλλ' ὡς τῇ τελείᾳ ἀγαθότητι ἀπελαύνων καὶ ἀναιρῶν τὴν ταλαιπωρίαν, δηλονότι τὰς στερήσεις ἁπάσας. Δεῖ δὲ εἰδέναι, ὅτι τὸ χαρίζεσθαι τοῖς οὖσι τὰς τελειότητας, ἁπλῶς μὲν θεωρούμενον, τῇ θείᾳ ἀγαθότητι προσήκει· ὡς δὲ ἀντιμετρούμενον, τῇ δικαιοσύνῃ· ὡς δὲ μὴ διὰ τὸ λυσιτελοῦν αὐτῷ, ἀλλὰ διὰ μόνην τὴν ἀγαθότητα, τῇ ἐλευθεριότητι· ὡς δὲ διὰ τῶν τελειοτήτων, πάσης στερήσεως καὶ ἐνδείας ἀπελαυνομένης, τῇ ἐλεημοσύνῃ. Καὶ ἔστιν ἡ ἐλεημοσύνη δικαιοσύνης ὑπερβολή.

4. Ὅτι ἐν παντὶ τοῦ Θεοῦ ἔργῳ εὑρίσκεται δικαιοσύνη καὶ ἔλεος, κατὰ τὸ ἐν Ψαλμοῖς· „Πᾶσαι αἱ ὁδοὶ Κυρίου, ἔλεος καὶ ἀλήθεια“, ἤγουν δικαιοσύνη· ὡς γὰρ ἀδύνατον ποιῆσαί τι τὸν Θεόν, ὅπερ οὐκ ἀνήκει τῇ ἀγαθότητι αὐτοῦ καὶ σοφίᾳ, καὶ τῇ ὀφειλομένῃ τάξει καὶ ἀναλογίᾳ, δικαιοσύνη· ὡς δὲ καὶ κατὰ τὰ ὀφειλόμενά τινι κτίσματι δι' ἄκραν ἀγαθότητα ἀφθονώτερον τῆς ἀξίας ἑκάστου ἐπιχωρηγοῦντος, σύνεισιν ἄμφω. Διαιροῦνται δὴ πώσποτε ἐν τῷ λόγῳ ἡμῶν διὰ τὸ ἔν τισι φαίνεσθαι μᾶλλον τούτων ἑκάτερον. Τὸν γὰρ ἀσεβῆ δικαίως κολάζων, ἐλεεῖ τὴν τιμωρίαν ἐπικουφίζων, ἢ ἧττον τῆς ἀξίας τιμωρούμενος· τὸν δ' εὐσεβῆ δικαιοῖ ἅμα καὶ ἐλεῶν, ὅταν διὰ τὴν ἀγάπην τὰ ἁμαρτήματα συγχωρῇ, f. 204v ὡς ἐν τῷ Λουκᾷ λέγεται, | ὅτι· „Ἀφείθησαν τῇ Μαγδαληνῇ αἱ ἁμαρτίαι, διότι ἠγάπησε πολύ“. Καὶ τῶν δικαίων δὲ πιεζομένων, ἡ δικαιοσύνη καὶ τὸ ἔλεος φαίνεται. Εἴ τι γὰρ πρόσεστιν αὐτοῖς ῥύπου καθαιρόμενοι, πάντη πρὸς Θεὸν ἀναβλέπουσιν, καὶ τοῖς ἐν τῷ κόσμῳ πιέζουσιν ἐκεῖ βαδίζειν ἀμεταστρεπτὶ συνελαύνοντα. Ἀλλὰ καὶ τῷ δημιουργεῖν ἔνεισιν ἄμφω· εἰ

8 Rom. 11, 32 12 Ps. 84, 11 14 Ps. 110, 4 25 Ps. 24, 10 34 Luc. 7, 47

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ μὴ προϋποτιθέναι δοκεῖ ἡ δημιουργία, ὡς ταῦτα προϋποτιθέασιν, προϋπόκεινται μάλιστα ἐν τῇ τοῦ Θεοῦ γνώσει τὰ ὄντα καὶ ἡ δημιουργία αὐτῶν· ὅπου ὁ τῆς δικαιοσύνης σῴζεται λόγος, ὅτι παρήγαγεν εἰς τὸ εἶναι τὰ πράγματα κατὰ τὸ τῇ θείᾳ ἀγαθότητι καὶ σοφίᾳ προσῆκον, καὶ ὁ τοῦ ἐλέους τρόπον τινά, καθόσον τὰ πράγματα ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι μεταβέβληνται.

## XXII. — Περὶ τῆς θείας προνοίας.

1. Ὅτι ἀνάγκη τιθέναι ἐν Θεῷ πρόνοιαν, ὡς ἐν τῇ Σοφίᾳ λέγεται· „Σὺ δὲ πατήρ, κυβερνῶν προνοίᾳ“· καὶ ἔστιν ἐν τῷ Θεῷ ἡ πρόνοια ὁ λόγος τῆς πρὸς τὸ τέλος τάξεως τῶν πραγμάτων, οὐχ ὡς ἐν ἀνθρώποις ἡ πρόνοια τὸ εἰς τὸ τέλος τάττειν τὰ ἄλλα ἐστίν· ἢ τῇ πρὸς αὐτοὺς παραθέσει, πρὸς τὸ τῆς ζωῆς δηλαδὴ τέλος· ἢ τῇ πρὸς τοὺς ὑποτεταγμένους, οἰκίαν δηλαδὴ ἢ πόλιν ἢ βασιλείαν, ὡς „ὁ πιστὸς δοῦλος καὶ φρόνιμος ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τὴν οἰκίαν αὐτοῦ“. Οὕτω γὰρ οὐ δύναται τῷ Θεῷ ἁρμόζειν ἡ πρόνοια· ἐν αὐτῷ γὰρ τῷ Θεῷ οὐδέν ἐστιν ὃ τάττεσθαι δεῖ πρὸς τὸ τέλος, αὐτοῦ ὄντος τοῦ ἐσχάτου τέλους.

2. Ὅτι πάντα ὑποτέτακται τῇ θείᾳ προνοίᾳ, οὐ καθόλου μόνον ἀλλὰ καὶ καθ᾽ ἕκαστον, ἐπεὶ τὸ τοῦ Θεοῦ αἰτιῶδες εἰς πάντα τὰ ὄντα ἐκτείνεται οὐ μέχρι μόνων τῶν τοῦ εἴδους ἀρχῶν, ἀλλὰ καὶ τῶν τοῦ ἀτόμου· οὐδὲ τῶν ἀφθάρτων μόνον, ἀλλὰ καὶ τῶν φθαρτῶν. Καὶ διὰ τοῦτο τὰ ἁμηγέπη τοῦ εἶναι μετέχοντα ἐκ τῆς πρώτης πάντων αἰτίας δεῖ καὶ παρ᾽ αὐτῆς εἰς τέλος τετάχθαι, καὶ ᾗ μετέχει τοῦ εἶναι, ταύτῃ καὶ τοῦ τέλους τυγχάνειν· τὸ δέ ἐστι τὸ προνενοῆσθαι, ἐπεὶ ἡ πρόνοια οὐδὲν ἄλλο ἐστὶν ἐν Θεῷ ἢ λόγος τῆς εἰς τὸ τέλος τῶν ὄντων τάξεως. Πάντα δὲ ὑπόκεινται τῇ θείᾳ τάξει, ὡς τῇ τάξει τῆς τέχνης πάντα τὰ τεχνητὰ αὐτῇ.

Τὰ δὲ ἐκ ταὐτομάτου λεγόμενα ἢ ἀπὸ τύχης εἶναι, τὴν τῆς μερικῆς αἰτίας τάξιν ἐκφεύγοντα οὕτω λέγονται, τὴν δὲ τῆς καθόλου αἰτίας οὐ δυνάμενα ἐκφυγεῖν, κατὰ πρόνοιαν εἰσίν, ὥσπερ δυοῖν δούλων συνδρομή, εἰ ἐξ αὐτομάτου ἐστὶν ὅσον | κατ᾽ αὐτούς, προνενοημένη μέντοι ἐστὶν ὅσον f. 205
παρὰ τοῦ δεσπότου, ἀποστείλαντος ἐκ προνοίας εἰς ἕνα τόπον, ἀγνοοῦντος τοῦ ἑτέρου περὶ τοῦ ἑτέρου.

Καὶ εἰ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται, „ὅτι ὁ Θεὸς ἀφῆκε τὸν ἄνθρωπον ἐν τῇ χειρὶ τῆς βουλῆς αὐτοῦ“, ὃ περὶ τῶν ἁμαρτωλῶν μάλιστα ἀληθές, οὐ τὸ εἶναι ἔξω τῆς θείας προνοίας τὸν ἄνθρωπον, ἀλλὰ τὸ μὴ προδιατετυπῶσθαι τούτῳ δύναμιν ἐνεργητικὴν εἰς ἓν ὡρισμένην, ὡς τὰ φυσικά, δηλοῖ. Εἰ γὰρ καὶ αὐτεξουσίως ζῇ ὁ ἄνθρωπος, ἀλλ᾽ ἐπεὶ ἡ τοῦ

---

10 Sap. 14, 3 14 Matth. 24, 45 28 *ἐκφεύγοντα* corrigé de *ἐκφεύγονται* A
33 *λύσις ἐνστάσεως* en marge add A Eccli. 15, 14

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτεξουσίου ἐνέργεια ὡς εἰς αἰτίαν ἀνάγεται τὸν Θεόν, ἀνάγκη τὰ ἐκ τοῦ αὐτεξουσίου γινόμενα τῇ θείᾳ ὑποτετάχθαι προνοίᾳ.

Καὶ τὸ ἐν τῇ πρὸς Κορινθίους λεγόμενον, ὅτι „οὐ μέλει τῷ Θεῷ περὶ τῶν βοῶν", ὃ νοητέον καὶ περὶ τῶν ἀλόγων κτισμάτων πάντων οὐχ ὡς μὴ ὑποκειμένων τῇ θείᾳ προνοίᾳ τῶν τοιούτων ἀτόμων εἴρηται, ἀλλὰ πρὸς διαστολὴν τῆς λογικῆς κτίσεως, εἰδικῷ τινι τρόπῳ ὑποτεταγμένης τῇ θείᾳ προνοίᾳ, ὥστε λογίζεσθαί τι ταύτῃ εἰς ἁμαρτίαν ἢ κατόρθωμα τῶν διὰ τοῦ αὐτεξουσίου ἐνεργουμένων, καὶ ἀποδίδοσθαι αὐτῇ δίκην ἢ ἀμοιβήν.

Εἰ δὲ καὶ ἡ ἀνθρωπίνη πρόνοια ἑαυτὴν οὐχὶ καὶ ἐπὶ τὰ ἀναγκαῖα ἐκτείνεται, τὰ ἐκ τῆς φύσεως προϊόντα, ἀλλ' ἡ τοῦ Θεοῦ πρόνοια, ὅς ἐστι τῆς φύσεως δημιουργὸς ὅλης, καὶ ἐπὶ ταῦτα ἐκτείνεται. Χρῆται γὰρ ὁ ἄνθρωπος μόνον τοῖς φυσικοῖς ἐν τοῖς τεχνητοῖς ἢ τοῖς ἠθικοῖς· ὁ δὲ Θεὸς καὶ ποιεῖ ταῦτα.

3. Ὅτι ὁ Θεός, κατὰ μὲν τὸν λόγον τῆς εἰς τὸ τέλος τάξεως τῶν προνοουμένων, ἀμέσως πάντων προνοεῖ, κατὰ δὲ τὴν τῆς τοιαύτης τάξεως διαχείρισιν, ἣ διεξαγωγὴ καλεῖται, εἰσί τινα μέσα τῆς θείας προνοίας, διὰ τῶν ὑψηλοτέρων τῶν ταπεινοτέρων κυβερνωμένων οὐκ ἀσθενείᾳ τῆς προνοητικῆς δυνάμεως, ἀλλὰ ὑπερβολῇ ἀγαθότητος μεταδιδούσῃ καὶ τοῖς ποιήμασι τῆς αἰτιώδους ἀξίας.

4. Ὅτι ἡ θεία πρόνοια οὐ πᾶσιν ἀνάγκην ἐπιτίθησιν, ἀλλὰ τὸ ἀγαθὸν τὸ ἐν τοῖς πράγμασι καὶ τὴν τελειότητα περισῴζουσα ἐν τῷ εἶναι καὶ σῴζεσθαι πολλοὺς καὶ διαφόρους βαθμοὺς ἐν αὐτοῖς, τισὶ μὲν προητοίμασεν ἀναγκαίας αἰτίας, ὥστ' ἐξ ἀνάγκης ἀποβαίνειν, τισὶ δὲ ἐνδεχομένας, ὥστ' ἀποβαίνειν ἐνδεχομένως κατὰ τὴν ἕξιν τῶν προσεχῶν αἰτίων.

## XXIII. — Περὶ προορισμοῦ.

1. Ὅτι προσῆκόν ἐστι τῷ Θεῷ τοὺς ἀνθρώπους προορίζειν. Πάντα
f. 205v γὰρ τῇ θείᾳ προνοίᾳ ὑπόκεινται· τῆς δὲ | προνοίας, τὸ εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται· εἰς ὃ δὲ τάττονται τέλος ὑπὸ Θεοῦ τὰ ὄντα, διττόν, ἓν μὲν ὑπερφυές, ἡ αἰώνιος ζωή, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη· ἓν δὲ τὸ τῇ φύσει οἰκεῖον, καὶ οὗ τὰ κτιστὰ δύνανται ἅπτεσθαι τῇ οἰκείᾳ δυνάμει. Εἰ δέ τις ἀσθενοίη, ὑπ' ἄλλου ἄγεται, ὡς τὸ βέλος πρὸς τὸν σκοπὸν ὑπὸ τοῦ τοξότου πεμπόμενον. Ὅθεν ἰδίως ἡ λογικὴ κτίσις, δεκτικὴ οὖσα τῆς αἰωνίου ζωῆς, ἄγεται εἰς αὐτὴν ὥσπερ ὑπὸ τοῦ Θεοῦ πεμπομένη, ἧς δὴ πομπῆς ὁ λόγος ἐν αὐτῷ προϋφίσταται, ὡς καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὃ φαμεν πρόνοιαν. Ὁ δὲ τοῦ

---

3 *ἑτέρας ἐνστάσεως λύσις* en marge add A I Cor. 9, 9  33 *τις* corrigé de *τι καὶ* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐσομένου λόγος, ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων, προϋπόστασίς τίς ἐστιν αὐτοῦ τοῦ πράγματος· ὅθεν ὁ λόγος τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν ὁδηγίας τῆς λογικῆς φύσεως προορισμὸς ὀνομάζεται· ὁρίζειν γάρ, τὸ τὸν ὅρον ἐφ' ὃν δεῖ ἀχθῆναι προϋποτιθέναι, καὶ οὕτως ὁ προορισμὸς προνοίας μέρος ἐστίν.

Ὃ δέ φησιν Ἰωάννης ὁ ἐκ Δαμασκοῦ, „πάντα μὲν τὸν Θεὸν προγινώσκειν, οὐ πάντα δὲ προορίζειν· προγινώσκειν μὲν γὰρ τὰ ἐφ' ἡμῖν, οὐ μέντοι καὶ προορίζειν", προορίζειν βούλεται λέγειν τὸ ἀνάγκην ἐπιτιθέναι, ὡς ἐν τοῖς φυσικοῖς, ἅτινα εἰς ἓν ὥρισται· καὶ δῆλον ἐκ τοῦ προσθεῖναι· „Οὐ γὰρ θέλει τὸ πονηρόν, οὔτ' ἀναγκάζει τὴν ἀρετήν".

Τὰ δὲ ἄλλα κτίσματα, ὡς μὴ δεκτικὰ τέλους τοιούτου τὴν εὐπορίαν καὶ τὸν λόγον τῆς κτιστῆς φύσεως ὑπερβαίνοντος, οὐ κυρίως λέγονται προωρίσθαι, καταχρηστικῶς δέ, τῇ πρὸς τὸ ἐφικτὸν καὶ οἰκεῖον τέλος παραθέσει, ὅτι καὶ αὐτὰ εἰς αὐτὸ τῇ θείᾳ προνοίᾳ τάττονται.

Καὶ ὅτι μὴ ἀποκαλύπτεται τοῖς προωρισμένοις τὸ προωρίσθαι, ὡς τὰ ἄλλα χαρίσματα, οὐ δεῖ θαυμάζειν· ἔδει γάρ, ἵνα μήτε οἱ προωρισμένοι ῥαθυμοῖεν, μήτε οἱ μὴ προωρισμένοι ἀπογινώσκοιεν· ἐνίοις μέντοι γε ἀποκαλύπτεται.

2. Ὅτι ὁ προορισμὸς οὐκ ἔστι τι ἐν τοῖς προωρισμένοις, ἀλλ' ἐν τῷ προορίζοντι· ὃ μὲν γάρ, μέρος προνοίας· ἡ δέ, ὡς ἔστι λόγος ἐν τῷ τοῦ προνοοῦντος λογισμῷ εἴρηται. Ἀλλ' ἡ διαχείρισις τῆς προνοίας, ἣ καὶ κυβέρνησις λέγεται, παθητικῶς μέν ἐστιν ἐν τοῖς κυβερνωμένοις, ἐνεργητικῶς δὲ ἐν τῷ κυβερνῶντι.

3. Ὅτι ὁ Θεὸς καὶ τινὰς ἀποδοκιμάζει, καὶ ἔστιν ἡ ἀποδοκιμασία μέρος προνοίας, ὡς καὶ ὁ προορισμός. Ὥσπερ γὰρ ὁ προορισμὸς περιέχει πρόθεσιν τοῦ δοῦναι χάριν καὶ δόξαν, οὕτω καὶ ἡ ἀποδοκιμασία θέλησιν περιέχει | τοῦ συγχωρεῖν εἰς ἁμαρτίαν ἐμπίπτειν τινά, καὶ δίκην κατα- f. 206 κρίσεως ἐπιφέρειν ἀντὶ τῆς ἁμαρτίας.

Ἔστι δὲ ὁ μὲν προορισμὸς αἴτιος σωτηρίας ἐν τοῖς προωρισμένοις, ὡς καὶ τῆς μελλούσης δόξης καὶ τῆς ἐνταῦθα χάριτος· ἡ δὲ ἀποδοκιμασία τῆς μὲν ἁμαρτίας ἐνταῦθα οὐκ αἰτία, τοῦ δὲ ἀποδοθησομένου αὐτῇ, ὅτι ἡ ἁμαρτία πρόεισιν ἐκ τοῦ αὐτεξουσίου τοῦ ἀποδεδοκιμασμένου. Ὅθεν εἴρηται ἐν δεκάτῳ τρίτῳ τοῦ Ὡσηέ· „Ἐκ σοῦ ἡ ἀπώλειά σου, Ἰσραήλ, καὶ ἐξ ἐμοῦ μόνου ἡ βοήθειά σου".

Εἰ δὲ λέγεται ὅτι ὁ ἀποδεδοκιμασμένος οὐ δύναται τυχεῖν χάριτος, κατὰ τὴν ὑποθετικήν, οὐ κατὰ τὴν ἁπλῶς δύναμιν αὐτοῦ νοεῖται, ὥσπερ

---

29 *Σημ. — Ἐν Μαλαχίᾳ· τὸν Ἰακὼβ ἠγάπησα· τὸν δὲ Ἠσαῦ ἐμίσησα* **add A dans la marge inférieure** 34 Os. 13, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀνάγκη καὶ τὸν προωρισμένον σωθῆναι, ἀλλ' ὑποθετικῇ ἀνάγκῃ, οὐκ ἀναιρούσῃ τὸ αὐτεξούσιον.

4. Ὅτι ὁ Θεὸς ἐκλέγεται τοὺς εἰς σωτηρίαν προωρισμένους, ὡς ἐν τῇ πρὸς Ἐφεσίους· „Ἐξελέξατο ἡμᾶς ὁ Θεὸς πρὸ καταβολῆς τοῦ κόσμου“· καὶ πάντες οἱ προωρισμένοι οὐ μόνον ἐκλελεγμένοι εἰσίν, ἀλλὰ καὶ ἀγαπητοί· ἡ γὰρ ἀγάπη τῆς ἐκλογῆς προϋπόκειται, ὡς ἡ ἐκλογὴ τοῦ προορισμοῦ.

5. Ὅτι τὰ ἀνθρώπινα ἔργα οὐκ εἰσὶν αἴτια τοῦ προορισμοῦ, ἢ τῆς ἀποδοκιμασίας, ἢ τῆς ἐκλογῆς. Ἐν γὰρ τῇ πρὸς Τῖτον λέγεται· „Οὐκ ἐξ ἔργων δικαιοσύνης ὧν ἡμεῖς ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς“. Ὥσπερ δὲ σῴζει, οὕτω καὶ σωθῆναι προώρισεν. Οὐκ ἄρα ἡ τῶν ἔργων πρόγνωσις αἰτία ἢ λόγος τοῦ προορισμοῦ. Καὶ ἐν τῷ ἐσχάτῳ τῶν Θρήνων· „Ἐπίστρεψον ἡμᾶς, Κύριε, καὶ ἐπιστραφησόμεθα, καὶ αὐτὴ γὰρ ἡ πρώτη πρὸς τὴν χάριν ἑτοιμασία, οὐ γίνεται ἐν ἡμῖν, βοηθείας θείας χωρίς.

Ἰστέον δὲ ὅτι ὥσπερ διαφόρων βαθμῶν τὰ ὄντα πεποιηκὼς ὁ Θεὸς πρὸς τὴν συμπλήρωσιν τοῦ παντός, συνεχώρησε διὰ τοῦτο καί τινα κακὰ γίνεσθαι, ἵνα μὴ πολλὰ κωλύοιντο ἀγαθά, οὕτω καὶ ἐν τῷ ἀνθρωπίνῳ γένει, καθ' ὁμοιότητα τῆς ὁλότητος τοῦ παντός, ἠθέλησε τινὰς προορίσαι, ἵνα τὴν ἑαυτοῦ ἀγαθότητα παραστήσῃ φιλανθρωπίας τρόπῳ, τῷ ἐλεῆσαι· ἐν τισὶ δέ, τὴν ἑαυτοῦ δικαιόσυνην ἐν τῷ κολάζειν, τοῦ Ἀποστόλου λέγοντος ἐν τῇ πρὸς Ῥωμαίους· „Εἰ δὲ θέλων ὁ Θεὸς δεῖξαι τὴν ὀργήν, τουτέστι τὴν δικαίαν τιμωρίαν, καὶ γνωρίσαι τὴν δύναμιν αὐτοῦ, ὑπέμεινε, τουτέστι συνεχώρησεν, ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώ-
f. 206v λειαν, ἵνα δείξῃ τὸν πλοῦτον τῆς δόξης | αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν“· καὶ ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ· „Ἐν τῇ μεγάλῃ δὲ οἰκίᾳ εἰσὶν οὐ μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν“.

Διατί δὲ τούτους μὲν ἐξελέξατο, τούτους δὲ ἀπεδοκίμασεν, οὐκ ἔχει λόγον εἰ μὴ μόνην τὴν θείαν βούλησιν· ὅθεν Αὐγουστῖνος ἐν τῷ κατὰ Ἰωάννην· „Διατί δὲ τοῦτον μὲν ἕλκει, ἐκεῖνον δὲ οὐχ ἕλκει, εἰ βούλει μὴ πλανηθῆναι, μὴ κρίνε“, ὥσπερ διὰ τί τῆς πρώτης ὕλης, μονοειδοῦς οὔσης καθ' ἑαυτήν, ἓν μὲν αὐτῆς μέρος ἐν εἴδει πυρὸς παρῆκται, ἄλλο δὲ ἐν εἴδει γῆς, δυνατὸν λόγον ἀποδοῦναι, ὥστε δηλαδὴ τὴν τῶν εἰδῶν διαφορὰν ἐν τοῖς οὖσιν ὑποστῆναι· διὰ τί δὲ τοδὶ τὸ μέρος τῆς ὕλης ὑπὸ τοδὶ εἶδος, καὶ τοδὶ ὑπὸ τοδί, τῆς ἁπλῆς τοῦ Θεοῦ θελήσεως ἤρτηται, ὥσπερ τῆς τοῦ οἰκοδόμου τὸ τόνδε μὲν λίθον ἐν ἐκείνῳ τῷ μέρει τοῦ τοίχου, τοῦτον δὲ ἐν ἄλλῳ ὑπάρχειν. Ἐν γὰρ τοῖς χάριτι δεδομένοις

---

4 Eph. 1, 4 8 Tit. 3, 5 12 Thren. 5, 21 21 Rom. 9, 22-23 25 II Tim. 2, 20
36 ἐν répété A; le premier a été biffé

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δύναταί τις κατὰ τὸ ἀρέσκον αὐτῷ καὶ πλέον ἄλλῳ καὶ ἔλαττον ἄλλῳ διδόναι μετὰ τοῦ μηδὲν τὸ δίκαιον παραβλάπτειν, ἐφόσον οὐδενὸς τὸ ὀφειλόμενον ἀναιρεῖ. Καὶ τοῦτ' ἔστιν ὅ φησιν ὁ οἰκοδεσπότης ἐν ἐνάτῳ τοῦ κατὰ Ματθαῖον· „Ἆρον τὸ σὸν καὶ ὕπαγε· ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω;"

6. Ὅτι ὁ θεῖος προορισμὸς βεβαιότατα καὶ ἀσφαλέστατα τυγχάνει τοῦ ἰδίου ἀποτελέσματος· ἀνάγκην μέντοι οὐκ ἐπιτίθησιν, ὥστε τὸ τούτου ἀποτέλεσμα ἐξ ἀνάγκης προβαίνειν. Ὁ γὰρ προορισμός, ὡς εἴρηται, μέρος προνοίας· τὰ δὲ ταύτῃ ὑποκείμενα καὶ ἀναγκαῖά εἰσι, καὶ ἄλλα ἐνδεχόμενα κατὰ τὴν ἕξιν τῶν δευτέρων αἰτίων, ἃ ἔταξεν ἡ θεία πρόνοια πρὸς τὰ τοιαῦτα ἀποτελέσματα. Ἀλλ' ὅμως ἡ τῆς προνοίας τάξις, ἀσφαλής· οὕτω δὲ καὶ ἡ τοῦ προορισμοῦ τάξις βέβαιος, καὶ τοῦ αὐτεξουσίου μὴ ἀναιρουμένου, ἐξ οὗ ἐνδεχομένως πρόεισι τὸ τοῦ προορισμοῦ ἀποτέλεσμα.

7. Ὅτι ὥρισται ὁ τῶν προωρισμένων ἀριθμὸς οὐκ εἰδικῶς μόνον, ἀλλὰ καὶ ὑλικῶς, καὶ οὐ μόνον τῷ τῆς γνώσεως τρόπῳ, ἀλλὰ καί τινος ἀρχοειδοῦς προορισμοῦ· οὐχ οὕτω μέντοι παντάπασι καὶ ἐπὶ τῶν ἐγκαταλελειμμένων ἐστίν· οὗτοι γὰρ εἰς τὸ τῶν ἐκλεκτῶν ἀγαθὸν δοκοῦσιν ὑπὸ τοῦ Θεοῦ προδιατετάχθαι, „οἷς πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν".

Περὶ δὲ τοῦ ἀριθμοῦ τῶν προωρισμένων, οἳ μὲν φασίν, ὅτι ὅσοι | ἐκπεπτώκασιν ἄγγελοι· οἳ δέ, ὅτι ὅσοι ἔμειναν· οἳ δέ, ὅτι ὅσοι ἐκτίσθη- f. 207
σαν· οἳ δέ, ὅτι τῷ Θεῷ μόνῳ τοῦτο ἔγνωσται.

8. Ὅτι ἐν τῷ προορισμῷ δύο δεῖ θεωρεῖν, αὐτὸν δηλαδὴ τὸν θεῖον προορισμόν, καὶ τὸ αὐτοῦ ἀποτέλεσμα. Κατὰ μὲν οὖν τὸ πρῶτον, οὐδένα τρόπον ὁ προορισμὸς ταῖς τῶν ἁγίων δεήσεσι βοηθεῖται· οὐδὲ γὰρ διὰ τὰς τῶν ἁγίων παρακλήσεις ὑπὸ τοῦ Θεοῦ τις προορίζεται. Ἀλλὰ πρὸς τὸ δεύτερον, καὶ πάνυ· ἡ γὰρ πρόνοια οὐκ ἀναιρεῖ τὰς δευτέρας αἰτίας, ἀλλ' οὕτω προνοεῖται τῶν ἀποτελεσμάτων, ὥστε καὶ τὴν τῶν δευτέρων τάξιν αἰτίων ὑποκεῖσθαι αὐτῇ. Καὶ ἐπὶ τοῦ προορισμοῦ τοίνυν, ὅς ἐστι μέρος προνοίας, οὕτως ἐστίν· οὕτω γὰρ σωτηρία τινὸς ὑπὸ τοῦ Θεοῦ προορίζεται, ὥστε καὶ τῇ τάξει τοῦ προορισμοῦ ὑποπίπτειν πᾶν ὅπερ ἂν ἐπὶ σωτηρίαν τὸν ἄνθρωπον προκαλεῖται, ἢ τὰς ἰδίας εὐχάς, ἢ τὰς τῶν ἄλλων, ἢ ἕτερα ἀγαθά, ἢ πᾶν τοιοῦτον, ὧν ἄνευ τῆς σωτηρίας οὐκ ἂν τύχοι. Ὅθεν τοὺς προωρισμένους ἐπιχειρεῖν δεῖ ἀγαθοεργίᾳ καὶ εὐχαῖς· διὰ γὰρ τούτων τὸ τοῦ προορισμοῦ ἀποτέλεσμα βεβαίως πληροῦται. Διὰ τοῦτο λέγεται ἐν τῇ πρώτῃ τοῦ Πέτρου· „Σπουδάσατε δι' ἀγαθῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι".

Εἰ δὲ λέγοι τις, ὅτι ὁ μὲν προορισμὸς ἀΐδιος, αἱ δ' εὐχαὶ καὶ τὰ

---

**4** Matth. 20, 14 **10** *ἕξιν* corrigé de *τάξιν* A **18** Rom. 8, 28 **35** II Pet. 1, 10
**37** *Ἀντίθεσις* en marge add A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄλλα ἐν χρόνῳ· τὸ δ' ἐν χρόνῳ οὐ προηγεῖται τοῦ ἀϊδίου, οὐδὲ βοηθεῖ πρὸς τὸ εἶναι ἐκεῖνο· ἢ ὅτι τὸ μὲν δεῖσθαι βοηθείας δι' ἀσθένειαν συμβαίνει δυνάμεως· τοῦτο δὲ οὐ προσήκει τῷ Θεῷ, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;“ ἢ ὅτι τοῦ αὐτοῦ ἐστι τὸ βοηθεῖσθαι καὶ τὸ κωλύεσθαι, ὁ δὲ προορισμὸς κωλυθῆναι οὐ δύναται ὥστε, οὐδὲ βοηθῆναι· πρὸς μὲν τὸ πρῶτον ῥητέον, ὅτι τοῦτο ἀληθές ἐστιν ὅσον πρὸς αὐτὸν τὸν προορισμόν, ὡς εἴρηται· πρὸς δὲ τὸ δεύτερον, ὅτι διχῶς λέγεται βοηθεῖσθαι, καθόσον τε δύναμιν ὑπό τινος λαμβάνει καὶ καθόσον ὡς διακόνου διά τινος τὴν ἑαυτοῦ πληροῖ διάταξιν, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Θεοῦ γάρ ἐσμεν συνεργοί“. Περὶ δὲ τοῦ πρώτου τρόπου λέγεται· „τίς βοηθεῖ τῷ πνεύματι τοῦ Κυρίου;“ Πρὸς δὲ τὸ τρίτον, ὅτι αἱ δεύτεραι αἰτίαι οὐ δύνανται ἐξελθεῖν τὴν τάξιν τῆς καθόλου καὶ πρώτης αἰτίας· ἀποπληροῦσι δέ, καὶ διὰ τοῦτο ὁ προορισμὸς βοηθεῖται μὲν ὑπὸ τῶν κτισμάτων, κωλύεται δὲ οὐδαμῶς. —

## f. 207v XXIV. — Περὶ τῆς βίβλου τῆς ζωῆς.

1. Ὅτι ἔστι ζωῆς βίβλος, κατὰ τό· „Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων“. Λέγεται δὲ μεταφορικῶς ἀπὸ τῶν ἀνθρώπων, εἰωθότων τοὺς ἐκλεγομένους ἐπί τι, οἷον στρατιώτας ἢ βουλευτάς, καταγράφειν ἐν βιβλίῳ. Καταγράφεται δὲ καὶ ἐν διανοίᾳ τινὸς τὸ ἀνεπιλήστως καὶ βεβαίως μνημονευόμενον, ὡς ἐν τρίτῳ τῶν Παροιμιῶν· „Μὴ ἐπιλάθῃ τοῦ νόμου μου, καὶ τὰς ἐντολάς μου ἡ καρδία σου φυλαξάτω“· καὶ μετ' ὀλίγα· „Ἀπόγραψαι αὐτὰς ἐν πλαξὶ τῆς καρδίας σου“. Ὅθεν αὐτὴ ἡ τοῦ Θεοῦ γνῶσις, ᾗ βεβαίως μέμνηται ἑαυτοῦ προορίσαντος τινὰς εἰς τὴν αἰώνιον ζωήν, βίβλος ζωῆς λέγεται. Λέγεται δὲ οὕτως καὶ ἡ βίβλος τῶν ἀγόντων εἰς τὴν ζωήν, ἢ τῶν ποιητέων, ὡς ἡ παλαιὰ διαθήκη καὶ νέα· ἢ τῶν ἤδη γεγενημένων· λέγεται καὶ ἡ θεία δύναμις, δι' ἧς ἄγονται εἰς μνήμην ἑκάστῳ τὰ αὐτοῦ ἔργα. Βίβλος δὲ θανάτου οὐ λέγεται διὰ τὸ μὴ εἰωθέναι ἀπογράφεσθαι τοὺς ἀχρήστους, τοὺς δὲ ἐκλεκτοὺς μόνον.

3. Ὅτι δυνατόν τινα τῆς βίβλου τῆς ζωῆς ἐξαλείφεσθαι, κατὰ τὸ τοῦ Δαυΐδ· „Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων“· καὶ ἐν τῇ Ἀποκαλύψει· „Ὃς ἂν νικήσῃ, οὗτος ἐνδυθήσεται ἱματίοις λευκοῖς, καὶ οὐκ ἀπαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς“. Πρὸς γὰρ τὴν βίβλον τῆς ζωῆς, ἥ ἐστιν ἀπογραφὴ τῶν εἰς τὴν αἰώνιον ζωὴν τεταγμένων, διχῶς τις τάττεται, ἔκ τε τοῦ θείου προορισμοῦ, καὶ τοῦτο οὐδέποτε ἀσθενεῖ, καὶ τῆς χάριτος. Οἱ γὰρ ἔχοντες χάριν ἐξ αὐτοῦ τούτου ἄξιοί εἰσι τῆς αἰωνίου ζωῆς· τὸ δὲ οὕτω τετάχθαι πολλάκις καὶ ἀσθενεῖ, ἀποπιπτόντων

---

4 Rom. 11, 34 6 *λύσις τῆς ἀντιθέσεως* add A 10 I Cor. 3, 9 17 Ps. 68, 29
21 Prov. 3, 3 32 Apoc. 2, 5

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006